Ἐν ταῖς καθημεριναῖς μετὰ τὰ εἰρηνικὰ ἄρχεται ψάλλειν ὁ α′ χορὸς τὰ Ἀντίφωνα· Ἀμήν.

## Ἀντίφωνον Α′
## Ψαλμὸς ϟα′ (91)

Στίχος. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου,* Σῶτερ, σῶσον ἡμᾶς.

Στίχος. Τοῦ ἀναγγέλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου,* Σῶτερ, σῶσον ἡμᾶς.

Στίχος. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου,* Σῶτερ, σῶσον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου,* Σῶτερ, σῶσον ἡμᾶς.

Εἶτα ὁ Διάκονος τὴν μικρὰν συναπτήν·

*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ...*
Ὁ β′ χορός· Κύριε ἐλέησον.
Ὁ Διάκονος· *Τῆς Παναγίας, ἀχράντου...*
Ὁ β′ χορός· Σοί, Κύριε.
Ὁ Ἱερεύς· *Ὅτι σὸν τὸ κράτος...*
Ὁ β′ χορός· Ἀμήν.

Καὶ ἄρχεται εὐθὺς ὁ β′ χορὸς τό·

## Ἀντίφωνον Β′
## Ψαλμὸς ϟβ′ (92)

Στίχος. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο.
Πρεσβείαις τῶν ἁγίων σου* σῶσον ἡμᾶς, Κύριε.

Στίχος. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.
Πρεσβείαις τῶν ἁγίων σου* σῶσον ἡμᾶς, Κύριε.

Στίχος. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε, εἰς μακρότητα ἡμερῶν.
Πρεσβείαις τῶν ἁγίων σου* σῶσον ἡμᾶς, Κύριε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Πρεσβείαις τῶν ἁγίων σου* σῶσον ἡμᾶς, Κύριε.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ὁ μονογενὴς Υἱὸς* καὶ Λόγος τοῦ Θεοῦ* ἀθάνατος ὑπάρχων* καὶ καταδεξάμενος* διὰ τὴν ἡμετέραν σωτηρίαν* σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου* καὶ ἀειπαρθένου Μαρίας* ἀτρέπτως ἐνανθρωπήσας·* σταυρωθείς τε, Χριστὲ ὁ Θεός,* θανάτῳ θάνατον πατήσας·* εἷς ὢν τῆς ἁγίας Τριάδος,* συνδοξαζόμενος τῷ Πατρὶ* καὶ τῷ ἁγίῳ Πνεύματι·* σῶσον ἡμᾶς.

Εἶτα ὁ Διάκονος τὴν μικρὰν συναπτήν·

*Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ...*
Ὁ α′ χορός· Κύριε ἐλέησον.
Ὁ Διάκονος· *Τῆς Παναγίας, ἀχράντου...*
Ὁ α′ χορός· Σοί, Κύριε.
Ὁ Ἱερεύς· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...*
Ὁ α′ χορός· Ἀμήν.

Καὶ ἀρχομένου ἀπὸ τοῦ α′ χοροῦ·

## Ἀντίφωνον Γ′
### Ψαλμὸς ϞΔ′ (94)

Στίχος. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,* ὁ ἐν ἁγίοις θαυμαστὸς* ψάλλοντάς σοι· Ἀλληλούϊα.

Στίχος. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ· ὅτι Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,* ὁ ἐν ἁγίοις θαυμαστὸς* ψάλλοντάς σοι· Ἀλληλούϊα.

Στίχος. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν· ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,* ὁ ἐν ἁγίοις θαυμαστὸς* ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὸ γ′ ἀντίφωνον γίνεται ἡ μικρὰ εἴσοδος μετὰ τοῦ Εὐαγγελίου καὶ ἐκφωνεῖ ὁ Διάκονος· *Σοφία· ὀρθοί.*

Καὶ ψάλλεται ὑπὸ τοῦ α′ χοροῦ τὸ εἰσοδικόν·

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ,* ὁ ἐν ἁγίοις θαυμαστὸς* ψάλλοντάς σοι· Ἀλληλούϊα.

Τὸ ἀπολυτίκιον τοῦ ἁγίου τῆς ἡμέρας, τοῦ ἁγίου τοῦ ναοῦ καὶ τὰ διατεταγμένα κοντάκια.

## Μετὰ τὸ κοινωνικόν·

Εἶτα ὁ Ἱερεύς· *Πάντοτε νῦν καὶ ἀεί...*

Ὁ β′ χορὸς (χῦμα)· Ἀμήν.

Πληρωθήτω τὸ στόμα ἡμῶν* αἰνέσεώς σου, Κύριε,* ὅπως ὑμνήσωμεν τὴν δόξαν σου,* ὅτι ἠξίωσας ἡμᾶς* μετασχεῖν τῶν ἁγίων μυστηρίων σου·* στήριξον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ·* ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου.* Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.